eul_wid: aqo-ab

*Αἴσωπος ὁ μυθολόγος* · Aesop the Fabulist

# Fables Preserved-Assendelftian Wax Tablets

*Μῦθοι ἐν δέλτοις Ἀσσενδελφτίοις σωθέντες*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

[1] ΛΕΩΝ ΓΗΡΑΣΑΣ ΚΑΙ ΑΛΩΠΗΞ λέων γήρᾳ συσχεθεὶς νοσεῖν προσεποιεῖτο, ὡς διὰ ταύτης τῆς πλάνης τὰ λοιπὰ θηρία [ὡς] εἰς τὴν σύσκεψιν αὐτοῦ ἐρχόμενα κατεδαπάνα. τοιγ(α)ροῦν ἀλώπηξ κατὰ τὴν ἑαυτῆς ἀγχίνοιαν (ἐνό)ησε τὰς ἐνέδρας καὶ οὕτ(ω)ς ἑαυτὴν ἥρμοσεν, ἵνα καὶ τὴν χά(ριν) ἀναπληρώσῃ καὶ (τὸν) κ(ίνδυν)ον ἐκφύγῃ. ἐκτὸς τοῦ σ(πη)λαί(ου) ἑστῶσα ἠσπάσατο (τὸν) λέοντα ( 〈ἀλλ'〉 οὐ π)ροσήρ(χετο). ἐπ 〈ερω〉 τ(η)θεῖσα (δὲ ὑ)πὸ τοῦ 〈λέο〉 ντος διὰ ( .. τί) μὴ εἰσήρχετ(ο, εἶπε)ν· „(τ)ὰ ἴχ(ν)η μὲν πάντων τῶν θηρίων εἰσερχομένων ὁρῶ, ἐξερχομένων (δ') οὐχ ὁρῶ.“ διδάσκει ἡμᾶς ὁ μῦθος τὰ μέλλοντα προβλέπειν (ὁ)μοίως. ΛΕΩΝ ΚΑΙ ΜΥΣ μῦς ἐπάνω λέοντο(ς κοιμω)μένου ἐφήλ[λ]ατο (καὶ τὸν ὕ)πνον αὐτοῦ ἐξήγειρεν. [1]

2 (t) ὁ (μὲν λ)έων δραξ(άμε)ν(ος αὐτὸν ἀν)αιρεῖν ἐβούλ(ετο. ἀλλ' ἐ)κεῖνο 〈σ〉 συγγνώμη(ν τῆς ἁμα)ρτίας ᾐτήσατο καὶ ὑπ(ισχνεῖτο) αὐτ 〈ῷ οὐ〉 κ ἐλάττονα(ς χάριτα)ς ἀνοίσειν [αὐτῷ ὑπισχνεῖτο]. γ(ε)λάσας δὲ (ὁ λέων, ὅτι) οὕτως ἐλ(άχισ)τον ζ(ῷον τῷ λέοντι) χ(άρι)τας ἀποδώσειν (ἐπηγ)γέλ(λ)ετο, ἀπέλυσεν αὐτόν. οὐ πολ(λῷ δὲ) ὕστερον ὑπὸ κυνηγῶν (συλλη)φθεὶς (ὁ λέων εἰς) δεσμὰ 〈ἐβλήθη〉 . τότε (ὁ) μῦς ἀναμνησ(θεὶς τοῦ ἀποδοῦναι) ἑαυτῷ τὴν (χάριν προὐπήδ)ησε διὰ τῆς νυ(κτὸς καὶ διαλ)υσάμενος τὰ δεσ(μὰ ὀδοῦσι ἔσωσεν) αὐτόν. οὕτω πολλά(κις) ἄν(θρωπ)ός τ(ι)ς βοη 〈θη〉 θῇ ὑπὸ ἡσσό(ν)ω(ν καὶ χάρ)ις ὑπάρχου[σ]α ἔρχ(ηται ἐξ ἀελπίστου) (?). ΑΝΔΡΟΦΟΝΟΣ υἱὸς τὸν ἴδιον πατέρα φονεύσας καὶ τοὺς νόμους φοβηθεὶς ἔφυγεν εἰς ἐρημίαν. [1]

3 (t) καὶ διὰ τῶν ὀρέων παρερχόμενος ἐδιώκετο ὑπὸ λέοντος. καὶ διωκόμενος ὑπὸ τοῦ λέο(ντος) ἀνῆλθεν εἰς δέν(δρον καὶ) εὑρὼν δράκοντ(α ἀνερχό)μενος ἐπὶ τὸ δένδρον καὶ 〈οὐ〉 δυνάμενος ἀνελθεῖν (διὰ τὸν) δράκοντα (πάλιν κ)ατ(ῆλ)θε ... κ(ακοῦργ)ο(ς οὐδεὶς λ)ανθάνει θεόν. ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην. [5]